www.tezaurliturgic.ro

Ἱλαρίωνος Μοναχοῦ

# Παρακλητικὸς Κανὼν εἰς τὸν Ἅγιον Μεγαλομάρτυρα Ἀρτέμιον

Ἅγιον Ὄρος

2018

ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

# Παρακλητικὸς Κανὼν εἰς τὸν Ἅγιον Μεγαλομάρτυρα Ἀρτέμιον

## Ἦχος πλ.δ'

*Ὠιδὴ Α' Ὑγρὰν διοδεύσας.*

Τῷ πάντων τρισμάκαρ Δημιουργῷ, Ἀρτέμιε μάρτυς, παριστάμενος ἐκτενῶς, ἱκέτευε τοῦτόν με παντοίων, ἐκ πειρασμῶν ἐκλυτρῶσαι καὶ θλίψεων.

Ἀδάπανον ἔχων τὸν θησαυρόν, κλέος τῶν μαρτύρων, τῶν ἰάσεων τῆς δεινῆς, ψυχῆς μου θεράπευσον τὰς νόσους, καὶ τὰς τοῦ σώματος Ἀρτέμιε.

Ἰχῶρσιν ὡς ὄντως μαρτυρικοῖς, καθωραϊσμένος, τὴν ψυχήν μου ταῖς ἡδοναῖς, ῥυπῶσαν ταῖς σαῖς πανευπροσδέκτοις, πρεσβείαις μάρτυς ἀποκάθαρον.

*Θεοτοκίον.*

Ἱλέῳ τῷ ὄμματι ἀγαθή, ἔπιδε Παρθένε, ὡς τεκοῦσα τὸν Λυτρωτήν, καὶ τῆς μετανοίας με τῇ τρίβῳ, πρὸ τοῦ θανάτου καθοδήγησον.

*Ὠιδὴ Γ' Σὺ εἶ τὸ στερέωμα.*

Σὲ τὸν γενναιόφρονα, ἐπικαλοῦμαι ὁ δείλαιος, ἐν πειρασμοῖς, ὅπως εὕρω λύσιν, στεφηφόρε Ἀρτέμιε.



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Λύσιν μοι πρυτάνευσον, ταῖς ἱκεσίαις σου ἅγιε, ταῖς πρὸς Χριστόν, τῶν ἁμαρτιῶν μου τῶν ἀμέτρων μακάριε.

Ἰατρὸν γινώσκων σε, στεφανηφόρε Ἀρτέμιε, πίστει θερμῇ, πρὸς σὲ καταφεύγω, τοῦ τυχεῖν ἀντιλήψεως.

*Θεοτοκίον.*

Λογισμῶν ἀτόπων με, Παρθενομῆτωρ ἐκλύτρωσαι, τὸν ἐναγῆ, ὅπως ἀποφύγω, διὰ σοῦ κατακρίσεως.

*Ὠιδὴ Δ΄ Εἰσακήκοα Κύριε.*

Ταπεινώσεως ἅγιε, τῆς ἐξ ἐπηρείας τοῦ πολεμήτορος, ταῖς εὐχαῖς σου μὲ ἐξέγειρον, ὅπως ἀνυμνῶ σου τὸ μνημόσυνον.

Ἀπορίας Ἀρτέμιε, νῦν τῆς κατεχούσης με ἐλευθέρωσον, ἐκ πληθύος τῶν πταισμάτων μου, μεγαλομαρτύρων τὸ ἀγλάϊσμα.

Ἱκεσίαις σου δώρησαι, τῷ σὲ μετὰ πίστεως καταφεύγοντι, τὴν ὑγείαν τρισμακάριστε, ὅπως σοῦ γεραίρω τὰ θαυμάσια.

*Θεοτοκίον.*

Ἀπορρήτως συνέλαβες, τῇ τοῦ Ἀρχαγγέλου φωνῇ Θεόνυμφε, τοῦ Πατρὸς τὸν ὁμοούσιον, εἰς βροτῶν τοῦ γένους ἀπολύτρωσιν.

*Ὠιδὴ Ε΄ Φώτισον ἡμᾶς.*



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Σώματι δεινῶς, καὶ ψυχῇ νοσῶν ὁ ἄθλιος, πιστῶς τῷ σῷ προστρέχω θείῳ ναῷ, θαυματοβρύτα, Ἀρτέμιέ με ἐπίσκεψαι.

Σκέδασον βουλάς, ἀθλοφόρε τῶν μισούντων με, ὁρατῶν τε καὶ ἀοράτων ἐχθρῶν, καὶ πάσης βλάβης, ὑπέρτερόν με ἀνάδειξον.

Ὄρεξον τῷ σῷ, ταπεινῷ ἱκέτῃ ἅγιε, χεῖρα βοηθείας καὶ πειρασμῶν, χαλεπῶν τε καὶ κινδύνων, παντοίων με διάσωσον.

*Θεοτοκίον.*

Ῥόδον ὡσπερεί, Παναμώμητε ἐξήνθησας, τῶν ἀκανθῶν ἐν μέσῳ τὴν τῇ φθορᾷ, πεσοῦσαν φύσιν, βροτῶν εὐωδιάσασα.

*Ὠιδὴ ΣΤ' Τὴν δέησιν ἐκχεῶ.*

Ὑπέκυψα, τοῖς ἀλόγοις πάθεσι, καὶ κτηνώδεσι καὶ τούτοις ἐμμένω, καὶ μηδαμῶς, τοῦ θανάτου τὴν ὥραν, ὁ δυστυχής, τὴν φρικώδη αἰσθάνομαι, Ἀρτέμιε μάρτυς Χριστοῦ, ταῖς εὐχαῖς σου, τὴν πώρωσιν λῦσόν μου.

Μιμούμενος, τοῦ Δεσπότου ἅγιε, τὴν ἀμέτρητον αὐτοῦ εὐσπλαγχνίαν, τῷ ἐπὶ σοί, καταφεύγοντι δίδου, τῶν ἀλγηδόνων τοῦ σώματος ἴασιν, θαυμάτων γὰρ ὄντως πλουτεῖς, τὴν ἀκένωτον χάριν Ἀρτέμιε.



ΑΘΩΝΙΚΗ
ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Ἀρτέμιε, ἐν βασάνοις ἔσχηκας, σὺ τὴν ἔνστασιν ἀνένδοτον μάρτυς, διὰ Χριστόν, τὸν Σωτῆρα καὶ ξίφει, τὴν κεφαλὴν ἀπετμήθης τρισόλβιε, ὃν πρέσβευε διὰ παντός, πειρασμῶν ἀφορήτων λυτρῶσαί με.

*Θεοτοκίον.*

Ἱκέτιδας, ἀνατείνω Δέσποινα, ὁ ἀχρεῖος πρὸς σὲ χεῖρας Παρθένε, κατανοῶν γὰρ τὸ τέλος ἐγγίζον, τῆς πονηρᾶς συνηθείας οὐ παύομαι, εὐσπλάγχνως με ἐκ τοῦ βυθοῦ, τῶν κακῶν Παναγία ἐξέγειρον.

*Ὠιδὴ Ζ΄ Παῖδες Ἑβραίων.*

Ῥῶσιν καὶ ἴασιν παράσχου, τῷ ἱκέτῃ σου τῶν ἀθλοφόρων κλέος, στρατιῶτα Χριστοῦ, τῶν ἐπικαλουμένων, ἡ ταχυνὴ βοήθεια, καὶ ἑτοίμη προστασία.

Τραύμασιν ἔμπλεως ὑπάρχων, τοῖς τοῦ σώματος, καὶ τῆς ψυχῆς ὁ τάλας, μιμητὰ τοῦ Χριστοῦ, Ἀρτέμιε παράσχου, τὴν ἴασιν τῷ δούλῳ σου, ταῖς ἀπαύστοις σου πρεσβείαις.

Ὕμνον προσδέχου ἀθλοφόρε, τῷ σὲ μέλποντι, ἐκ ῥυπαρῶν χειλέων, καὶ δεινῶν συμφορῶν, καὶ πάσης ἐπηρείας, τοῦ βροτοκτόνου λύτρωσαι, ἵνα πόθῳ ἀνυμνῶ σε.

*Θεοτοκίον.*



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Ὤφθησαν πάλαι ἐν καμίνῳ, ἀκατάφλεκτοι τρεῖς παῖδες προτυποῦντες, τὸν σὸν τόκον Ἁγνή, κραυγάζοντες ἐν ὕμνοις, ὁ τῶν Πατέρων Κύριος, καὶ Θεὸς εὐλογητός εἶ.

*Ὠιδὴ Η΄ Τὸν Βασιλέα τῶν οὐρανῶν.*

Σὲ μετὰ πίστεως μάρτυς καθικετεύω, ἐπαχθοῦς ἐκ νοσήματος λύσιν, τύχοιμι ἐν τάχει, ἀπαύστοις σου πρεσβείαις.

Μισθὸν ἀπέλαβες ἔνδοξε τῶν σῶν πόνων, τοῦ παρέχειν τοῖς αἰτοῦσι τὴν χάριν, ὅθεν μοι παράσχου, τὴν ἴασιν αἰτοῦντι.

Ἐξ ἀοράτων ἐχθρῶν στεφηφόρε, ἐσαεί με Ἀρτέμιε σῶζε, καὶ τῶν ὁρατῶν τε, γενναῖε χριστομάρτυς.

*Θεοτοκίον.*

Νόμους τῆς φύσεως Πάναγνε ὑπερβᾶσα, ἄνευ σπορᾶς συλλαβοῦσα ἐν μήτρᾳ, καὶ τεκοῦσα ἄφθορε, τὴν λύτρωσιν τοῦ κόσμου.

*Ὠιδὴ Θ΄ Κυρίως Θεοτόκον.*

Ὡς μέλισσαι κηρίον, Ἀρτέμιε μάρτυς, περιεκύκλωσε νῦν με πληθὺς τῶν κακῶν, ἐξ ὧν με ῥῦσαι, μάκαρ ταῖς ἱκεσίαις σου.

Ζωῆς τῆς ἀθανάτου, νῦν ἐναπολαύων, τοῦ σοῦ ἱκέτου ὀδύνας κόπασον, ὅπως ἐν πίστει, σὲ μεγαλύνω ἀεί.



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Εὐχαῖς σου εὐπροσδέκτοις, τὴν τῶν γλωσσαλγούντων, μανίαν ἅγιε διασκέδασον, δυσσεβοφρόνων Ἀρτέμιε θεοδόξαστε.

*Θεοτοκίον.*

Μαρία τὸ γλυκύ μοι, ὄντως καὶ ὡραῖον, καὶ περιπόθητον ὄνομα, τοῖς τὸ Ὄρος σου, προσκαρτεροῦσι, τῇ σκέπῃ σου διαφύλαττε.

*Προσόμοια. Ὅτε ἐκ τοῦ ξύλου. Ἦχος β΄.*

Δεῦτε νῦν προσπέσωμεν θερμῶς, ἐν τῷ πανιέρῳ τοῦ θείου μεγαλομάρτυρος, Ἀρτεμίου ἅπαντες, ναῷ καὶ λέγοντες, τὴν ὀφρὺν τοῦ ἀγνώμονος, δεινοῦ παραβάτου, ὁ καταρραξάμενος, τοῖς θείοις ἄθλοις σου, νόσων, καὶ παντοίων κινδύνων, ἡμᾶς λυτρωθῆναι ἀπαύστοις, ταῖς πρὸς τὸν Δεσπότην ἱκεσίαις σου.

Φύσει τὸ φθειρόμενον σοφέ, σῶμα παραδοὺς ταῖς βασάνοις, προθύμως ἔνδοξε, ἀθλητὰ Ἀρτέμιε, διὰ τὴν πάντων ζωήν, ἐν τῇ πέτρᾳ συγκέκλεισαι, ἰκρίῳ ἐπάγης, ξίφει τελειούμενος, στέφει κεκόσμησαι· ὅθεν τῷ Σωτῆρι τῶν ὅλων, ὑπὲρ τῶν ὑμνούντων σε πόθῳ, πρέσβευε ἀπαύστως ἀξιάγαστε.

Ἄνω ἐν μοναῖς τῶν ἐκλεκτῶν, καὶ πεποθημένοις ἁγίων, ἐν τοῖς σκηνώμασι, τῷ Χριστῷ Ἀρτέμιε, νῦν παριστάμενος, τῶν σωμάτων τὴν ἴασιν, ἱκέτευε δοῦναι, καὶ πταισμάτων ἄφεσιν, ἡμῖν δωρήσασθαι, πᾶσι τοῖς ἐν πόθῳ τελοῦσι, μνήμην τὴν ἐτήσιον μάκαρ, τῆς σῆς μαρτυρίας παναοίδιμε.



ΑΘΩΝΙΚΗ
ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Μήτηρ τοῦ Θεοῦ παναληθής, Δέσποινα Παρθένε
ἐδείχθης, καὶ Μήτηρ Ἄχραντε, πάντων τῶν τὸ Ὄρος
σου, Ἄθω τὸ Ἅγιον, ἐνοικούντων Πανύμνητε, καὶ
πόθῳ ὑμνούντων, τὸ φρικτὸν μυστήριον, τοῦ θείου
τόκου σου, οἷσπερ καὶ ἐν ὥρᾳ τῆς δίκης, ἀληθὴς
συνήγορος ἔσῃ, ὥσπερ καθυπέσχου
Μητροπάρθενε.